alia serò, & alia rei sibi commodæ sensum obtinent, alia carent. Quæ igitur hæc ambo, sensum dico rei commodæ, suique corporis perfectionem sortiuntur, hæc parentem sectari protinus queunt. Quæ non vtrunque illorum habeant, hæc id facere ipsum nequeunt: opus enim est & viribus, & sensu. 35 Cur genus vitiliginis, quod leuca appellatur, quasi albam dixeris, cæteris animantibus contrahi nequeat? Vtrũ quòd hominibus morbo hæc est: cæteris autem animalibus tergora varia, pilique eodem modo albedine efficiuntur. Attamen ambiget aliquis, quæretque, cur non postea, sed statim ab ortu naturæ varietas illa existere soleat. An quòd cæterorum animantium tergora dura sunt: homo autem è natura prætenui cute continetur. Vitiligo autem spiritus secretio est, qui cæteris animantibus excerni tergore denso prohibetur. 36 Cur vbi vitiligo, canities quoque est? reciprocari autem non licet, vt semper vbi canities, sit etiam vitiligo. An quòd pili omnes cute proueniunt: canities autem putredo veluti quędam est. Cùm itaque cutis morbo laborat, pilum etiam laborare inde necesse est: cùm autem pilus, cutem malè affici, necesse non est. 37 Cur animantium alia post partum sæuire solent, vt canis, vt sus: alia nihil efferantur, quod perspicuum fit, vt mulier, vt ouis? An quæ superuacua redundant materia, hæc suam clementiam seruant? Quantum enim doloris esset secretum in partu est. Quibus autem secretio non à vacantibus, sed integris fieri materiis solet, hæc exasperantur, & sæuiunt. Vnde fit, vt extenuatio quoque iram ratione habitus moueat: vt etiam gallinæ furiant, non cùm pepererint, sed cùm incubant ratione inediæ. 38 Cur spadonibus cætera in sexum fœmineum vitiata mutantur? (vox enim tenuis, corpus imbecillum. Denique ita homines commutantur, vt etiam cæterorum animantium quæcunque castrata. Nam & tauri, & verueces sua cornua è contrario gerunt: quod fœminę quoque eorum contrà, quàm mares armantur cornibus. Itaque alij maiora excisi gerunt, alij minora) magnitudo verò tantummodo, spadonibus dico, ad sexum virilem commutantur: maiores nanque redduntur. Quæ quidem res maris sua profectò est, quippe cùm fœminę minores maribus esse soleant. An ne id quidem ad marem, sed ad fœminam pertinet. Haud enim omne magnitudinis genus, sed longitudinis duntaxat acquiritur, cùm

A τὰ δ', ὀψέ; καὶ τὰ μὲν, αἰσθητικὰ τοῦ ὠφελοῦντος· τὰ δὲ, ἀναίσθητα. ὅσα μὲν οὖν ἔχει ἄμφω ταῦτα, (λέγω δ' οἷον καὶ αἴσθησιν τοῦ ὠφελοῦντος, καὶ ἐπιτέλεσιν τοῦ σώματος) ἀκολουθεῖ· τὰ δὲ μὴ ἄμφω, οὐ ποιεῖ τοῦτο. δεῖ γὰρ δύνασθαι καὶ μὴ αἰσθάνεσθαι. κϛ Διὰ τί λεύκη οὐ γίνεται τοῖς ἄλλοις ζώοις; πότερον ὅτι τοῖς μὲν ἄλλοις νόσημα, τοῖς δὲ ἀνθρώ-
B ποις οὐ γίνεται διάλευκα τὰ δέρματα καὶ αἱ τρίχες αὐτῶν; ἀλλ' ὅμως ἀπορήσειεν ἄν τις, διὰ τί ὕστερον οὐ γίνεται, ἀλλ' ἐκ γενετῆς ἡ ποικιλία. ἢ ὅτι τὰ δέρματα τῶν ἄλλων ζώων σκληρὰ, ἄνθρωπος δὲ φύσει λεπτοδερμότατον; ἡ δὲ λεύκη, πνεύματός ἐστιν ἔκκρισις, ὃ κωλύεται διὰ τὴν πυκνότητα ἐξιέναι τοῖς ἄλλοις ζώοις τοῦ δέρματος. κζ Διὰ τί ἐν
C μὲν τῇ λεύκῃ πολιαὶ γίνονται· ὅπου δὲ πολιαὶ, οὐκ ἀεὶ λεύκη; ἢ διότι αἱ τρίχες ἐκ τοῦ δέρματος εἰσίν; ἡ δὲ πολιὰ, ὥσπερ σαπρότης τις τῶν τριχῶν ἐστιν. ὅταν μὲν οὖν τὸ δέρμα κάμνῃ, ἀνάγκη καὶ τὴν τρίχα ἐξ ἐκείνου κάμνειν· ὅταν δὲ ἡ θρὶξ, οὐκ ἀνάγκη τὸ δέρμα. κη Διὰ τί τῶν ζώων, τὰ μὲν χαλεπά ἐστι μετὰ τὸν τόκον, οἷον κύων καὶ ὗς· τὰ δὲ,
D οὐδὲν ἐπιδήλως, οἷον γυνὴ, πρόβατον; ἢ ὅτι ὅσα μὲν περιττωματικὰ πραέα; ἀπέρχεται γὰρ ἐν τῷ τόκῳ τὰ λυποῦντα. ὅσοις δὲ ἀπὸ τῶν οὐ ἐχόντων γίνεται ἡ ἀφαίρεσις. ὥστε καὶ ἰσχνότης, ποιεῖ διὰ τὴν ἕξιν τὴν ὀργήν. ὥσπερ καὶ αἱ ἀλεκτορίδες οὐ τεκοῦσαι, χαλεπαὶ, ἀλλ' ἐπῳάζουσαι, διὰ τὴν ἀσιτίαν. κθ Διὰ τί εὐνοῦχοι, τὰ μὲν ἄλλα εἰς τὸ θῆλυ διαφθειρόμενοι μεταβάλλουσι· καὶ γὰρ φωνὴν θηλυ-
E κὴν ἴσχουσι, καὶ ἀμορφίαν, καὶ ἀναρθρίαν· καὶ οὕτω σφόδρα μεταπίπτουσιν, ὡς καὶ ἐν τοῖς ἄλλοις ζώοις τὰ ἐκτεμνόμενα. ἐναντίως δ' οἱ ταῦροι καὶ οἱ κριοὶ τὰ κέρατα ἴσχουσι· διότι καὶ τὰ θήλεα ἐναντίως αὐτῶν ἔχει. διὸ οἱ μὲν μείζω ἐκτεμνόμενοι ἴσχουσιν· οἱ δὲ ἐλάττω, αἰσχροί εἰσι. τὸ δὲ μέγεθος μόνον οἱ εὐνοῦχοι εἰς τὸ ἄρρεν μεταβάλλουσι· μείζους γὰρ γίνονται. ἔστι δὲ τοῦτο τοῦ ἄρρενος· τὰ γὰρ
F θήλεα, ἐλάττω ἐστὶ τῶν ἀρρένων. ἢ οὐδὲ τοῦτο εἰς τὸ ἄρρεν, ἀλλ' εἰς τὸ θῆλυ; οὐ γὰρ εἰς πᾶν τὸ μέγεθος, ἀλλ' εἰς τὸ μῆκος μόνον, τὸ δὲ ἄρρεν, καὶ εἰς πλάτος καὶ εἰς βάθος. τότε γὰρ τετελείωται. ἔτι δὲ ὡς ἔχει δὲ τὸ θῆλυ πρὸς τὸ

ἄρρεν